This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



GAISFORD PRIZE.

319

THE MAY QUEEN:

A GREEK IDYLL.

BY

JAMES BRYCE,
SCHOLAR OF TRINITY COLLEGE.

OXFORD:
T. AND G. SHRIMPTON.
1861.

THE MAY QUEEN.

ΠΟΙΜΕΝΕΣ ἔν ποκ' ὄρεσσιν Ἀμύντιχος ἠδὲ Φιλῖνος
Τύρισδον ποτὶ κράνᾳ ἐφεσδομέναι λαλεοίσᾳ,
Φηγῷ ὑπὸ σκιερᾶς, κατὰ δ' ἄγκεα μῆλ' ἐνέμοντο.
Πρᾶτος δ' ἱμερόφωνος Ἀμύντιχος ἦρξατ' ἄειδεν.

ἈΜΥΝΤΙΧΟΣ.

Ἔν ποκα τᾷ κώμᾳ, θέρεος νέον ἱσταμένοιο
Ποιμένες ἁμέτεροι εὐθαλέα τεῦχον ἑορτάν.
Πάντων τ' ἐξ ὀρέων, πεδίω τ' ἀπὸ πυροφόροιο
Κῶροι ἀόλλισθεν καὶ παρθενικαὶ ῥοδοχρῶτες.
Τῶν δ' ἅμ' ἀγειρομένων Μυρτὼ διεφαίνετο πάσαις,
Θευγένιδος θυγάτηρ, ὑακίνθινον ἄνθος ἔχοισα.
Τὰν δ' ὁρτᾶς ἅμα πάντες ἐπῄνεσαν ἦμες ἄνασσαν.
Ἁ δὲ κόρα χαίροισα φίλαν ποτὶ μάτερ' ἔειπεν.
" Μαῖα φίλα, τὰν παῖδα τὺ δ' αὔριον ἦρι κάλεσσον
Αὔριον ὀρθρεύοισα πανόλβιον, ἂν μὲν ἅπαντες
Ἐξείλευν κῶροι συνομάλικες ἠδὲ κορίσκαι
Εἰαρινᾶς στάσαντες ἔμεν βασίλισσαν ἑορτᾶς.
Αὔριον ἅμ βάσσας τε καὶ ἐς λειμώνια φύλλα
Ἑρψεῦμες στεφάνως δρεψεύμεναι, ἦ γὰρ ἅπαντες
Λειμῶνες μαλακοί, πάντ' ἄλσεα ποιάεντα,
Πᾶν νάπος εἰαρίνοισιν ἐπιβρύει ἄνθεσιν ὕλας.

Νῦν βοτάνα βουνοῖς χλοερωτέρα, αἱ γαλαθηναί
Ἐν ποίᾳ σκαρτῶσι φίλαις παρὰ μάτρασιν ἄρνες.
Νῦν παντᾷ λιαρῷ ποτέονται ἐν ἀέρι μυῖαι.
Ὄρνιχες δ' ὄσδοισιν ἐφεσδόμεναι ῥαδινοῖσιν
Γαθεῦσαι λαλαγεῦντι διὰ δρυμὰ πυκνὰ λίγειαι.
Πάντ' ἔαρος χαίρει πολυγαθέος, ἐν δέ τε κἠγών,
Ὡς με καλᾶς αἰνεῦντι κόραι βασιλεύεμεν ὀρτᾶς.
Χθὲς Γοργὼ τ' ἐνὶ σηκῷ ἐγὼ τ' ἠμέλγομες αἶγας,
Ἔνθα δὲ Δάφνις ἐπῆνθε, βόας δ' ἀπέλαυνε νομόνδε,
Οὐδέ ποτ' αὐτὸν ἔλευσσον, ὁ δ' ἄγριον ἦμες ἔφασκεν
Ἄγριον ἦμες ἔφασκεν, ἔρωτος ἀνάξιον αὔτως.
Τῷ δ' ἐμοὶ οὔτι μέλει, χαλεπαινέτω ὡς ἐθελήσει
Δάφνιδος οὐκ ἀλέγω, πολλοὶ δ' ἐμὲ ποιμένες ἄλλοι
Μναστεύοντ' ἐπέεσσι φίλαν ἀγάγεσθαι ἄκοιτιν."
Χὰ μὲν παῖς εἴποισα θυώδεϊ λέξατο κοίτῳ.
Ἆμος δ' ἐξ ὄρεος κορυφᾶς ἐκέδασσεν ὀμίχλαν
Ἀὼς ἀντέλλοισα παρ' Ὠκεανῶ ῥοδόπαχυς,
Τᾶμος ἀνὰ δρυμὼς τε καὶ ἄλσεα, πάρ τε ῥοαῖσιν
Σκίδναντ' αἰγλᾶντος ποταμῶ κατὰ πίσεα καλά
Παρθένοι, ἐς τ' ἄρα βουνὸν ἀνέτρεχον ἀνεμόεντα.
Πᾶσαι δ' ἐς ταλάρως ἐαροτρεφέ' ἄνθε' ἀρούρας
Δρεψάμεναι ποίκιλλον ἐνὶ πλεκτοῖς στεφάνοισιν
Χὰ μὲν ναρκίσσως, ἁ δ' εὔπνοα λείρια κέρσεν,
Ἁ δὲ κρόκον χρυσαύγε', ἴου θ' ἀπάλοιο πέτηλα,
Κυάνεόν τε χελιδόνιον, γραπτὰν θ' ὑάκινθον.
Ἀλλ' ὄκα παντοίοις καλάθως φύλλοισιν ἔπλησαν
Ἆψ ἐπὶ τῶν κώμαν συνομάρτεον εὔφρονες ἶλαι,
Καὶ χορὸν ἀρτίζοντο πίτυν πέρι, τὰν ἐνὶ μέσσῳ
Ἄλσει κῶροι ἔπαξαν ἀολλέες ὑψιπέτηλον,
Ἄνθεσι καὶ στεφάνοις πρέμνον δασὺ κοσμήσαντες.
Μυρτῶ δ' αἱ κῶραί τε καὶ ἠΐθεοι θαλέθοντες

Εἶσαν τὰν βασίλισσαν ἐπὶ θρόνῳ, ἀμφὶ δὲ κόρρᾳ
Ἄνδησαν στέφανον πλοκάμοις ἔπι κυανέοισιν
Ποικίλον ἄνθεσι πᾶσι, καὶ ἐπλατάγησαν ἅπαντες.
Αὐτίκα δ' ἐν μαλακᾷ ποίᾳ χορὸν ἱμερόεντα
Γαθόσυνοι στάσαντο, φίλοι δ' ἀπάνευθε τοκῆες
Ἱστάμενοι θαύμασδον ὑπὸ σκιεραῖς πλατανίστοις.
Ἐν δὲ μέσοις αὐλοὶ καὶ πηκτίδες ἁδὺ λίγαινον.
Οἱ δὲ περιπλέκτοις ποσὶν εἰς μέλος ἐγκροτέοντες
Ὠρχεῦντ' ἀλλάλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
Ὡς δ' ὅκα τηλωποῖς χιονόχροος ὤρεσι νεβρός
Κωροσύνᾳ σκαίροισα φίλαν περὶ μάτερα παίσδῃ
Τοία καὶ χαρίεσσα χορῷ ἐπενίσσετο Μυρτὼ
Ἱμερόεν, πάσαις τε μετέπρεπε παρθενικαῖσιν.
Ταῦτ' ἄρ' Ἀμύντιχος ᾆδεν, ὁ δ' ὕστερον ὧδε Φιλῖνος.

ΦΙΛΙΝΟΣ.

Ἄρχετέ μοι γοερᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αἴ αἴ, ὡς δειλοῖσι βροτοῖς μένει ἔμπεδον οὐδέν,
Πάντα δ' ὑπὸ χρόνω αἰὲν ἀέξεται ἠδ' ἀποκλίνει.
Ὣς καὶ ἐν ἁμετέραισι κόραις ῥαδινά ποκα Μυρτὼ
Ἀρχομένω θέρεος μεγάλ' ἔπρεπεν, εὐθαλὲς ἔρνος,
Χειμῶνος δ' ὑπὸ νούσω ἐτάκετο δεμνιοτήρους.
Πᾶν θ' ἄβας ἀπὸ χρωτὸς ἐφύγγανεν ὥριον ἄνθος
Καὶ τὸ ῥόδον θνάσκεν τῷ χείλεϊ, θνάσκε παρείᾳ,
Ὑγρά τε κυανέῃσιν ὑπ' ὀφρύσιν ὄμματ' ἐνάρκη.
Οἷα δ' ἐν σκιερῷ μυχῷ ἄλσεος ἁ ἀνεμώνα
Αὐξάνεται κώροισιν ἐφίμερος ἠδὲ κόραισιν,
Τοία πρὶν μὲν Μυρτὼ ἐείσατο μαλοπάρῃος.
Οἷα δὲ φλεγέθοντος ὑφ' ἀλίω ἁ ἀνεμώνα
Αὐτοῖσιν φύλλοισι κάρα βάλεν αὐανθεῖσα,

Νῦν βοτάνα βουνοῖς χλοερωτέρα, αἱ γαλαθηναί
Ἐν ποίᾳ σκιρτῶσι φίλαις παρὰ μάτρασιν ἄρνες.
Νῦν παντᾶ λιαρῷ ποτέονται ἐν ἀέρι μυῖαι.
Ὄρνιχες δ' ὄσδοισιν ἐφεσδόμεναι ῥαδινοῖσιν
Γαθεῦσαι λαλαγεῦντι διὰ δρυμὰ πυκνὰ λίγειαι.
Πάντ' ἔαρος χαίρει πολυγαθέος, ἐν δέ τε κἠγών,
Ὡς με καλᾶς αἰνεῦντι κόραι βασιλεύεμεν ὀρτᾶς.
Χθὲς Γοργὼ τ' ἐνὶ σηκῷ ἐγὼ τ' ἠμέλγομες αἶγας,
Ἔνθα δὲ Δάφνις ἐπῆνθε, βόας δ' ἀπέλαυνε νομόνδε,
Οὐδὲ ποτ' αὐτὸν ἔλευσσον, ὁ δ' ἄγριον ἦμες ἔφασκεν
Ἄγριον ἦμες ἔφασκεν, ἔρωτος ἀνάξιον αὔτως.
Τῶ δ' ἐμοὶ οὔτι μέλει, χαλεπαινέτω ὡς ἐθελήσει
Δάφνιδος οὐκ ἀλέγω, πολλοὶ δ' ἐμὲ ποιμένες ἄλλοι
Μναστεύοντ' ἐπέεσσι φίλαν ἀγάγεσθαι ἄκοιτιν."
Χἀ μὲν παῖς εἴποισα θυώδεϊ λέξατο κοίτῳ.
Ἆμος δ' ἐξ ὄρεος κορυφᾶς ἐκέδασσεν ὀμίχλαν
Ἀὼς ἀντέλλοισα παρ' Ὠκεανῶ ῥοδόπαχυς,
Τᾶμος ἀνὰ δρυμώς τε καὶ ἄλσεα, πάρ τε ῥοαῖσιν
Σκίδναντ' αἰγλᾶντος ποταμῶ κατὰ πίσεα καλά
Παρθένοι, ἐς τ' ἄρα βουνὸν ἀνέτρεχον ἀνεμόεντα.
Πᾶσαι δ' ἐς ταλάρως ἐαροτρεφέ' ἄνθε' ἀρούρας
Δρεψάμεναι ποίκιλλον ἐνὶ πλεκτοῖς στεφάνοισιν
Χἀ μὲν ναρκίσσως, ἁ δ' εὔπνοα λείρια κέρσεν,
Ἁ δὲ κρόκον χρυσαύγε', ἴου θ' ἀπάλοιο πέτηλα,
Κυάνεόν τε χελιδόνιον, γραπτὰν θ' ὑάκινθον.
Ἀλλ' ὄκα παντοίοις καλάθως φύλλοισιν ἔπλησαν
Ἆψ ἐπὶ τῶν κώμαν συνομάρτεον εὔφρονες ἶλαι,
Καὶ χορὸν ἀρτίζοντο πίτυν πέρι, τὰν ἐνὶ μέσσῳ
Ἄλσει κῶροι ἔπαξαν ἀολλέες ὑψιπέτηλον,
Ἄνθεσι καὶ στεφάνοις πρέμνον δασὺ κοσμήσαντες.
Μυρτῶ δ' αἱ κῶραί τε καὶ ἠΐθεοι θαλέθοντες

Εἷσαν τὰν βασίλισσαν ἐπὶ θρόνῳ, ἀμφὶ δὲ κόῤῥᾳ
Ἄνδησαν στέφανον πλοκάμοις ἔπι κυανέοισιν
Ποικίλον ἄνθεσι πᾶσι, καὶ ἐπλατάγησαν ἅπαντες.
Αὐτίκα δ' ἐν μαλακᾷ ποίᾳ χορὸν ἱμερόεντα
Γαθόσυνοι στάσαντο, φίλοι δ' ἀπάνευθε τοκῆες
Ἱστάμενοι θαύμασδον ὑπὸ σκιεραῖς πλατανίστοις.
Ἐν δὲ μέσοις αὐλοὶ καὶ πηκτίδες ἀδὺ λίγαινον.
Οἱ δὲ περιπλέκτοις ποσὶν εἰς μέλος ἐγκροτέοντες
Ὠρχεῦντ' ἀλλάλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
Ὡς δ' ὅκα τηλωποῖς χιονόχροος ὤρεσι νεβρός
Κωροσύνᾳ σκαίροισα φίλαν περὶ μάτερα παίσδῃ
Τοία καὶ χαρίεσσα χορῷ ἐπενίσσετο Μυρτὼ
Ἱμερόεν, πάσαις τε μετέπρεπε παρθενικαῖσιν.
Ταῦτ' ἄρ' Ἀμύντιχος ᾆδεν, ὁ δ' ὕστερον ὧδε Φιλῖνος.

ΦΙΛΙΝΟΣ.

Ἄρχετέ μοι γοερᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αἴ αἴ, ὡς δειλοῖσι βροτοῖς μένει ἔμπεδον οὐδέν,
Πάντα δ' ὑπὸ χρόνω αἰὲν ἀέξεται ἠδ' ἀποκλίνει.
Ὣς καὶ ἐν ἀμετέραισι κόραις ῥαδινά ποκα Μυρτὼ
Ἀρχομένω θέρεος μεγάλ' ἔπρεπεν, εὐθαλὲς ἔρνος,
Χειμῶνος δ' ὑπὸ νούσω ἐτάκετο δεμνιοτήρους.
Πᾶν θ' ἄβας ἀπὸ χρωτὸς ἐφύγγανεν ὥριον ἄνθος
Καὶ τὸ ῥόδον θνάσκεν τῷ χείλεϊ, θνάσκε παρειᾳ,
Ὑγρά τε κυανέῃσιν ὑπ' ὀφρύσιν ὄμματ' ἐνάρκη.
Οἵα δ' ἐν σκιερῷ μυχῷ ἄλσεος ἁ ἀνεμώνα
Αὐξάνεται κώροισιν ἐφίμερος ἠδὲ κόραισιν,
Τοία πρὶν μὲν Μυρτὼ ἐείσατο μαλοπάρῃος.
Οἵα δὲ φλεγέθοντος ὑφ' ἀλίω ἁ ἀνεμώνα
Αὐτοῖσιν φύλλοισι κάρα βάλεν αὐανθεῖσα,

Τοία ὑπὸ φθινάδος κώρα κατετρύχετο νούσῳ.
Οὐκέτ' ἀπὸ σταθμῶ μυκώμενας ἦρι νέμεσκεν
Πόρτιας ἂν λειμῶνα, καὶ ἑσπέρω ἂψ ἀπαγίνει·
Οὐκέτ' ἀπὸ κράνας τᾷ κάλπιδι νᾶμα φέρεσκεν·
'Αλλ' ἔντοσθε δόμων, μαλακῷ κλινθεῖσ' ἐπὶ λέκτρῳ,
Δαρὸν τακομένα βαρὺν ἐς τέλος ἄνυε πότμον.
Μάτηρ μὲν παιδὸς κεφαλὰν μετὰ χερσὶν ἔχοισα
Ἵστατο δακρυχέοισ', ἑτέρωθι δὲ μύρετο Δάφνις·
Μυρτὼ δ' ἄτρεμας εἶπε, καὶ ὑστάτιον φάτο μῦθον.
" Μᾶτερ ἐμὰ, μὴ μ' ὧδε λίαν ὑπεράχθεο παιδός·
Καὶ γὰρ ἐγὼ τὸ πρᾶτον, ἐμὸν θρηνευμένα οἶτον,
Πολλάκι νυκτὸς ἀωρὶ καὶ ἐς βαθὺν ὄρθρον ἔκλαιον.
Νῦν δ' ἐπεὶ ἄματα πολλὰ τ' ὀϊζυραὶ τ' ἐπὶ νύκτες
Τειρομένᾳ γίγνευνται ἐν ἀργαλέαις ὀδύναισιν,
Οὐδ' αὐτὰ μίμνοισ' ἐθέλω κακὰ πλήονα μοχθῆν.
'Αδεῖ' ἁ φωνὰ τὰς ἀμνίδος, ἁδὺ πέλειαι
Ἀλλάλαις τρύσδουσιν ἐν ὑψικόμοις πτελέαισιν.
'Αδύ τι χὼ Ζέφυρος πεύκαις ψιθυρίσδεται ἄκραις.
'Αλλά μοι ἅδιον θάνατος γλυκύς, οὗ πολὺ μᾶλλον
Ἵμερος, ἢ ναύτησι φίλαν ποτὶ γαῖαν ἵκεσθαι.
Οὕτω νῦν βασεῦμαι ἐμὰν ὁδόν, ᾇ με πέπρωται
Οὔτι τοσόν δ' ἄβας ἀλγευμένα, ὡς τέο, μᾶτερ·
Χαῖρέ μοι, ὦ μᾶτερ, καὶ μ' ὑστάτιόν γα φίλασον.
Καὶ τύ γα χαῖρ', ὦ Δάφνι, ἐμῷ πεφιλαμένε θυμῷ,
Καί ποκ' ἐμεῦς μνάσθητι, καὶ ἐν χθονὶ κοίλᾳ ἐοίσας,
'Ως πάλαι ἀσπασίως ὀαρίσδομες ἀλλάλοισιν.
Χαίρετε νῦν βουνοί, καὶ ἐν ὥρεσιν ἄγκεα καλά,
Καὶ κρᾶναι, ποταμοί τε, καὶ ὃς λιγυρώτατος ἄλλων
'Αμέτερον παρὰ κᾶπον ἐπήρατα νάμαθ' ἵησιν.
Χαίρετε καὶ λειμῶνες εὔπνοοι, ἀνθεμόεντες,
Οἷς ἔνι πολλάκι κῶραι ἐπαίσδομες αἰπολέοισαι.

Χαίρετε δ ὦ τριπόθατοι ὁμάλικες, οὐκέτ' ἐν ὔμμιν
Ὕστερον, οὔτ' ἔργοισι μετέσσομαι οὔτε χοροῖσιν."
Χὰ μὲν τόσσ' εἴποισ' ἀπεπαύσατο, καὶ τόκ' ἐπῆνθεν
Λυσιμελὴς θάνατος, καὶ ἀπέφθιτο παρθένος ἁβρά.
Ὦ τᾶς ἀδαμάτω μοίρας, στυγνῶ τ' Ἀχέροντος—
Ὑμῖν ὡς αἰεὶ φίλον ἔπλετο, κάλλιμα πρᾶτα
Κάλλιμα πρᾶτ' ὀλέσαι, τὰ δὲ δύσσοα πάνθ' ὑπολεῖψαι.
Ὦ κόρα, ἀλλὰ τεοῦς οὐ λασεύμεσθα θανοίσας·
Αἰὲν σῷ περὶ τύμβῳ, ὑπὸ σμίλαξι κελαινοῖς,
Θάλλοντ' ἐν μαλακᾷ καταθήσομες ἄνθεα ποίᾳ
Παρθένοι ἠΐθεοί τε, θέρευς νέον ἱσταμένοιο.
Οὔ ποκ' ἐν ἁμετέροις τεὸν ὥρεσιν οὔνομ' ὀλεῖται.
Τεῦς κῶροι μέμνανται, ἐπὰν χορὸν ἐντυνῶνται,
Καὶ κῶραι τεὸν οἶτον ἐν ἀλλάλαισι λέγοντι.